5. Ὅτι τὸ ἐπιθυμητικὸν καὶ θυμικὸν οὐκ εἰσὶ τῆς νοερᾶς ἐφέσεως μέρη, ἥτις λέγεται θέλησις. Ἡ μὲν γὰρ θέλησις εἰς τὸν κοινὸν τοῦ ἀγαθοῦ λόγον ἀφορᾷ, καὶ διὰ τοῦτο οὐ δυνατὸν ἐν αὐτῇ νοερᾷ οὔσῃ διαφόρους εἶναι δυνάμεις ἐπιθυμητικάς· τῆς δὲ αἰσθητικῆς ἐφέσεως κατὰ διαφόρους λόγους τῶν μερικῶν ἀντιλαμβανομένης διὰ τὸ τὴν αἴσθησιν τῶν μερικῶν εἶναι, οὐ τοῦ καθόλου, τὸ μὲν ἐπιθυμητικὸν ἀφορᾷ εἰς ἴδιον τοῦ ἀγαθοῦ λόγον καθό ἐστιν ἡδὺ κατ' αἴσθησιν καὶ οἰκεῖον τῇ φύσει· τὸ δὲ αὖ θυμικὸν ἀφορᾷ εἰς ἴδιον λόγον τοῦ ἀγαθοῦ, καθό ἐστιν ἀπωθητικὸν καὶ πολέμιον τοῦ βλαβὴν ἐπάγοντος.

## LXXXIII. — Περὶ αὐτεξουσίου.

1. Ὅτι ὁ ἄνθρωπος ἔχει τὸ αὐτεξούσιον. Ἄλλως γὰρ μάτην ἂν ἦσαν αἱ συμβουλαὶ καὶ αἱ ἐντολαὶ καὶ τὰ κωλύματα. Καὶ ἐν τῷ Ἐκκλησιαστῇ λέγεται· „Ὁ Θεὸς ἐν ἀρχῇ κατέστησε τὸν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ τῆς βουλῆς αὐτοῦ", τουτέστιν ἐν ἐξουσίᾳ τοῦ αὐτοπροαιρέτου, φησὶν ὁ ἐξηγητής.

Ἰστέον γὰρ ὅτι τινὰ μὲν χωρὶς κρίσεως ἐνεργοῦσιν, ὡς ὁ λίθος κινεῖται κάτω, καὶ τὰ γνώσεως ἐστερημένα πάντα· τινὰ δὲ κρίσει, ἀλλ' οὐκ αὐτεξουσίῳ καὶ ἐλευθέρᾳ· οὐ γὰρ μετὰ ψήφου, ἀλλ' ἐκ φυσικοῦ τινος ἔνδοθεν οἷον παροτρύνοντος, ὡς τὰ ἄλογα. Ὁ δ' ἄνθρωπος ἐνεργεῖ κρίσει διὰ τῆς γνωστικῆς δυνάμεως, καὶ διότι ἡ κρίσις αὕτη οὐκ ἐκ φυσικοῦ τινός ἐστι θεσμοῦ ἐν τῷ μερικῷ πρακτῷ, ἀλλ' ἐξ ἐπεισαγωγῆς τινος τοῦ λόγου, διὰ τοῦτο αὐτεξουσίως ἐνεργεῖ, δυνάμενος εἰς διάφορα φέρεσθαι, καὶ οὐ πρὸς ἕν τι ὡρισμένον. Οὐ μέντοι διὰ τοῦτο πρώτη αἰτία τῶν τοιούτων τοῦ ἀνθρώπου ἐνεργειῶν τὸ ἐλεύθερον, ἀλλ' ὁ Θεός, ὁ κινῶν καὶ τὰς φυσικὰς καὶ ἑκουσίους αἰτίας. Εἰ δὲ καὶ αἱ αἱρέσεις ἐφ' ἡμῶν εἰσιν, ὑποκειμένης μέντοι τῆς θείας βοηθείας, ἀλλ' ἡ ἀποπλήρωσις τῶν αἱρέσεων ἑκόντος ἄκοντος δύναται κωλυθῆναι ἐκ τῆς πρώτης αἰτίας.

2. Ὅτι τὸ αὐτεξούσιον δύναμίς ἐστιν. Οὐδὲν γάρ ἐστιν ὑποκείμενον ἕξεως εἰ μὴ ἡ δύναμις· τὸ δ' αὐτεξούσιον ὑποκείμενόν ἐστι τῆς χάριτος, ἧς βοηθούσης, αἱρεῖται τὸ ἀγαθόν.

3. Ὅτι δύναμίς ἐστιν ἐπιθυμητική, οὐ γνωστική· αἵρεσις γάρ ἐστιν, f. 257
πρὸς ἣν συντελεῖ μὲν ἡ γνωστικὴ δύναμις τῷ βουλεύσασθαι καὶ κρῖναι τί δεῖ τοῦ ἑτέρου προτιμῆσαι· συντελεῖ δὲ ἡ ἔφεσις τῷ ἐφίεσθαι προσδέξασθαι τὸ διὰ τῆς βουλῆς κριθέν. Ἀλλὰ μᾶλλόν ἐστιν ἐπιθυμητικὴ ἢ γνωστική· ἴδιον γὰρ ἀντικείμενον τοῦ λόγου τῆς αἱρέσεώς ἐστι τὸ πρὸς τὸ τέλος· τοῦτο δὲ ᾗ τοιοῦτον ἀγαθοῦ λόγον ἔχει διὰ τὸ εἶναι χρήσιμον. Ὅθεν ἐπεὶ τὸ ἀγαθὸν ᾗ τοιοῦτον τῆς ἐφέσεως ἀντικείμενον, ἕπεται καὶ

---

14 Eccli. 15, 14 19 *ἐλευθέρα* sic A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὴν αἵρεσιν κυρίως ἐνέργειαν εἶναι τῆς ἐπιθυμητικῆς δυνάμεως, καὶ οὕτω τὸ αὐτεξούσιον ἐπιθυμητικὴ ἐστι δύναμις.

4. Ὅτι τὸ αὐτεξούσιον οὐκ ἔστιν ἄλλη δύναμις παρὰ τὴν θέλησιν, ὥσπερ οὐδὲ ὁ νοῦς ἄλλη δύναμις παρὰ τὸν λόγον, ὡς προείρηται. Ὡς γὰρ ὁ νοῦς τῶν ἀρχῶν ἐστι καὶ ὁ λόγος τῶν συμπερασμάτων, ἅπερ ἐκ τῶν ἀρχῶν συλλογιζόμεθα, οὕτως ἡ θέλησίς ἐστι τοῦ τέλους, ἡ δὲ αἵρεσις, τῶν πρὸς τὸ τέλος. Ἀλλὰ τῆς αὐτῆς δυνάμεως ἐδείχθη τὸ νοεῖν καὶ τὸ συλλογίζεσθαι, ὡς τῆς αὐτῆς δυνάμεως τὸ ἠρεμεῖν καὶ κινεῖσθαι· καὶ ἐπὶ τοῦ προκειμένου ἄρα ὁμοίως· ἀνάλογον γὰρ εἶναι ἀνάγκη τὰς τῆς ἐφέσεως δυνάμεις ταῖς ἀντιληπτικαῖς, ὡς προείρηται.

## LXXXIV. — Περὶ τῆς γνώσεως τῆς ψυχῆς, ὅσον πρὸς τὰ σωματικά.

1. Ὅτι διὰ τοῦ νοῦ γινώσκει τὰ σώματα ἡ ψυχή. Ἡ ἐπιστήμη γὰρ ἐν τῷ νῷ ἐστιν, καὶ εἰ μὴ ἐγίνωσκεν ὁ νοῦς τὰ σώματα, οὐκ ἂν ἦν ἡ φυσικὴ ἐπιστήμη περὶ τὸ κινητὸν σῶμα συνισταμένη.

Ἰστέον, ὅτι οἱ μὲν ἀρχαῖοι φυσικοί, διὰ τὸ μηδὲν εἶναι ὑπολαβεῖν παρὰ τὰ σώματα, ἃ ἐν διηνεκεῖ ῥύσει εἰσίν, ἐνόμιζον μηδὲν βέβαιον ἡμᾶς ἔχειν εἰδέναι περὶ τῆς ἐν τοῖς οὖσιν ἀληθείας· φθάνειν γὰρ τὸ πρᾶγμα ἀπορρέον πρὶν ἄν τι τὴν διάνοιαν περὶ αὐτοῦ κρῖναι, ὡς Ἡράκλειτος ἔλεγεν, ὡς ἀδύνατον δὶς τοῦ ἐν τῷ ποταμῷ ὕδατος ἅψασθαι.

Πλάτων δέ, ἵνα ἀπεναντίας ἐκείνοις δυνηθῇ σῶσαι τὸ βέβαιον τῆς ἐν ἡμῖν δόξης περὶ τῆς ἑκάστων ἀληθείας, ὑπέθετο τὰς ἰδέας, ἀΰλους οὐσίας καὶ ἀκινήτους, ὧν τῇ μετοχῇ τὰ μερικὰ ταῦτα καὶ αἰσθητὰ τόδε τι εἶναι καὶ λέγεσθαι· δι' ἐκείνων οὖν καὶ νοεῖν ταῦτα τὴν ψυχήν, πρὸς ἐκεῖνα τῶν ὁρισμῶν καὶ τῆς ἐπιστήμης καὶ πάσης ἐνεργείας τοῦ νοῦ ἀναφερομένων. Τοῦτο δὲ ψεῦδος. Πρῶτον μὲν γὰρ ἀνῃρεῖτο ἂν ἐκ τῶν ἐπιστημῶν
f. 257 v ἡ γνῶσις τῆς κινήσεως καὶ τῆς ὕλης, | ὅπερ ἐστὶν ἴδιον τῆς φυσικῆς ἐπιστήμης, καὶ ἡ ἐκ τῶν κινούντων καὶ ὑλικῶν αἰτίων ἀπόδειξις. Ἔπειτα, καὶ γελοῖον δοκεῖ, ὅταν τὴν περὶ τῶν ἐκδηλοτέρων γνῶσιν ζητοῦντες, ἄλλα παράγωμεν εἰς μέσον ἀδηλότερα καὶ ἅπερ οὐσίαν τούτων εἶναι ἀδύνατον· διαφέρουσι γὰρ ἐκεῖνα τούτων κατὰ τὸ εἶναι· καὶ γνωσθεισῶν γὰρ ἐκείνων, οὐ διὰ τοῦτο καὶ περὶ τῶν αἰσθητῶν δυναίμεθα ἂν κρίνειν. Ἠπάτηται δὲ ἐκ τοῦ νομίσαι μὲν καλῶς τὴν γνῶσιν δι' ὁμοιότητος γίνεσθαι, τὸ δὲ εἶδος τοῦ γνωστοῦ μὴ συνιδεῖν ὡς δύναται εἶναι ἐν τῷ γινώσκοντι κατὰ τὸν τοῦ γινώσκοντος τρόπον, ἀΰλως δηλαδὴ καὶ ἀκινήτως, ἃ τῷ καθόλου προσήκει· καὶ διὰ τοῦτο ὑπέλαβε δεῖν τὰ νοούμενα ἐν ἑαυτοῖς ὑφεστάναι οὕτως, ἵνα δυνηθῇ τῷ ἀνθρωπίνῳ νῷ ἐγγενέσθαι τις ἐπιστήμη

---

24 *τόδε τι*: *τὸ δέ τι* A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

περὶ αὐτῶν, καὶ δι' αὐτῶν, πάντων τῶν αὐτοῖς ἐξωμοιωμένων. Τὸ δ' ἀληθὲς οὕτως ἔχει, ὅτι τὸ εἶδος δύναται διαφόρως ἐν διαφόροις εὑρίσκεσθαι, ὡς ἐν αὐτοῖς γὰρ τοῖς αἰσθητοῖς διαφόρως εὑρίσκεται, οἷον ἡ λευκότης ἡ αὐτή, ἐν ἄλλῳ μὲν ἐπιτεταμένη, ἐν ἄλλῳ δὲ ἀνειμένη· καὶ ἄλλοθι μέν, μετὰ γλυκύτητος, ἄλλοθι δὲ ἄνευ αὐτῆς· καὶ πάλιν τὸ αὐτὸ εἶδος ἄλλως μὲν ἐν τῷ αἰσθητῷ, ἄλλως δὲ ἐν τῇ αἰσθήσει τῇ δεχομένῃ αὐτὸ ὕλης χωρὶς καὶ πνευματικῶς, ὡς ἔστιν ἐν ὀφθαλμῷ τὸ χρῶμα τοῦ χρυσοῦ χωρὶς τοῦ χρυσοῦ. Ὁμοίως οὖν καὶ ὁ νοῦς τὰ ἔνυλα εἴδη δέχεται κατὰ τὸν ἑαυτοῦ τρόπον, ἀΰλως καὶ ἀκινήτως· ἔστι γὰρ ἕκαστον ἐν τῷ δεχομένῳ κατὰ τὸν τοῦ δεχομένου τρόπον, καὶ διὰ τοῦτο οὐκ ἦν ἀναγκαῖον ἰδέας καινοτομεῖν, τῆς ψυχῆς διὰ τοῦ νοῦ δυναμένης γινώσκειν τὰ σώματα γνώσει ἀΰλῳ καὶ καθόλου καὶ ἀναγκαίᾳ.

2. Ὅτι ἡ ψυχὴ οὐ γινώσκει τὰ σώματα διὰ τῆς ἰδίας οὐσίας. Τοῦτο γὰρ ἴδιον τοῦ Θεοῦ, τὸ τὴν οὐσίαν αὐτοῦ ἀντιληπτικὴν εἶναι τῶν ὄντων ἀΰλως πάντων, καθόσον τὰ ἀποτελέσματα δυνάμει προϋφεστήκασιν ἐν τῇ αἰτίᾳ, καὶ ὁ Θεὸς κοινὴ καὶ πρώτη πάντων ἐστὶν αἰτία.

3. Ὅτι οὐδὲ διὰ φύσει ἐνόντων εἰδῶν ταῦτα γινώσκει. Ἔστι γὰρ ὁ νοῦς, κατὰ τὸν Φιλόσοφον, ὥσπερ γραμματεῖον ἐξαληλειμμένον, ἐν ᾧ μηδὲν γέγραπται φύσει, δυνάμει δὲ ἔχον πρὸς τὴν ὑποδοχὴν τῶν εἰδῶν, δι' ὧν ἐνεργείᾳ νοῶν καὶ ἐπιστάμενος γίνεται. Τὸ δὲ τὸν νοῦν φύσει πεπληρωμένον τῶν νοητῶν εἰδῶν διὰ τὴν πρὸς τὸ σῶμα ἑνότητα, κωλύεσθαι εἰς ἐνέργειαν προϊέναι, ὃ Πλάτων ὑπέθετο, οὐδέν ἐστιν. Εἰ γὰρ εἶχεν ὁ νοῦς φυσικὴν γνῶσιν πάντων, | ἀδύνατον ἦν τοσαύτην τῆς φυσικῆς γνώσεως f. 258
ταύτης λήθην παθεῖν, ὥστ' ἀγνοεῖν ἑαυτὴν ἔχουσαν τὴν ἐπιστήμην· οὐδεὶς γὰρ ἃ φύσει γινώσκει, τούτων ἐπιλανθάνεται, ὥσπερ ὅτι πᾶν ὅλον τοῦ μέρους μεῖζόν ἐστιν, καὶ τὰ τοιαῦτα. Ἀτοπώτερον δὲ ἔτι, εἰ ὑποκέοιτο φυσικὸν εἶναι τῇ ψυχῇ τὸ ἑνοῦσθαι σώματι· ἀδύνατον γὰρ φυσικήν τινα ἐνέργειαν κωλύεσθαι ὑπὸ τοῦ κατὰ φύσιν προσόντος τινί. Δῆλον δὲ καὶ ὅτι, φθαρείσης τινὸς αἰσθήσεως, φθείρεται ἡ γνῶσις τῶν ἐκείνῃ γινωσκομένων, ὥσπερ ὁ τυφλὸς γεννηθεὶς οὐκ οἶδέ τι περὶ χρωμάτων, ὅπερ οὐκ ἂν ἦν, εἰ τῇ νοερᾷ ψυχῇ φύσει ἦσαν οἱ τῶν νοητῶν πάντων ἐγκείμενοι λόγοι.

4. Ὅτι ἐκ τῶν εἰρημένων δῆλόν ἐστιν, ὅτι οὐδὲ ἐπιρρεῖ τῇ ψυχῇ ἀπό τινων χωριστῶν εἰδῶν τὰ εἴδη δι' ὧν νοεῖ καὶ ἐπίσταται. Εἰ γὰρ τοῦτ' ἦν, οὐκ ἂν ἐδεῖτο ἡ ψυχὴ σώματος πρὸς τὸ νοεῖν· ὅθεν μάτην ἂν τῷ σώματι ἥνωτο. Ἀλλὰ τοῦτ' ἔστιν ἀληθές, ὅτι τὰ νοητὰ εἴδη, ὧν μετέχει ὁ ἡμέτερος νοῦς, ἀνάγονται ὥσπερ εἰς πρώτην αἰτίαν εἰς ἀρχήν τινα τῇ ἑαυτῆς φύσει νοητήν, τουτέστιν εἰς τὸν Θεόν· ἀλλ' ἐξ ἐκείνης τῆς ἀρχῆς προφάσει μεσιτευόντων τῶν εἰδῶν ἐκ τῶν αἰσθητῶν καὶ ὑλικῶν, ἐξ ὧν τὴν ἐπιστήμην συνάγομεν.

---

**12** *καὶ* **répété dans A**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

5. Ὅτι ἐν ἀϊδίοις λόγοις γινώσκει τὰ ὑλικὰ ἡ νοερὰ ψυχή, ἀλλὰ δεῖ πρὸς ἀκρίβειαν διαιρεῖν. Διχῶς γὰρ ἄλλο τι ἐν ἄλλῳ γινώσκεται· ἢ ὡς ἐν τῷ ἀντικειμένῳ τῆς γνώσεως, ὥσπερ ὅταν τις ἐν κατόπτρῳ βλέπῃ ταῦτα ὧν αἱ εἰκόνες ἀναθρῴσκουσιν ἐν αὐτῷ, καὶ οὕτως ἐν τῇ καταστάσει τῆς παρούσης ζωῆς ἀδύνατον ἐν τοῖς ἀϊδίοις λόγοις ὁρᾶν πάντα τὴν ἀνθρωπίνην ψυχήν, ἀλλ' ἐν τῇ μακαριότητι μόνον, ὅπου οἱ μακάριοι, τὸν Θεὸν ὁρῶντες, ἐν αὐτῷ καὶ πάντα ὁρῶσιν, ἢ ὡς ἐν ἀρχῇ τῆς γνώσεως, ὥσπερ εἰ λέγοιμεν ἐν τῷ ἡλίῳ ὁρᾶσθαι τὰ διὰ τοῦ ἡλίου ὁρώμενα. Οὕτω δὲ ἀνάγκη λέγειν τὴν ἀνθρωπίνην ψυχὴν ἐν τοῖς ἀϊδίοις λόγοις πάντα γινώσκειν, ὧν τῇ μετοχῇ πάντα γινώσκομεν· αὐτὸ γὰρ τὸ ἐν ἡμῖν νοερὸν φῶς μεθεκτή τίς ἐστιν ὁμοιότης τοῦ ἀκτίστου φωτός, ἐν ᾧ περιέχονται οἱ ἀΐδιοι λόγοι, ὡς ἐν ταῖς Ψαλμοῖς, λέγεται· „Πολλοὶ λέγουσι· τίς δείξει ἡμῖν τὰ ἀγαθά;“ εἶτα ἀποκρίνεται πρὸς τὸ ζήτημα· „Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε“, ὡς ἂν τῇ τοῦ θείου φωτὸς σημειώσει πάντων
f. 258v ἐν ἡμῖν δεικνυμένων. Ἐπεὶ μέντοι παρὰ τὸ ἐν ἡμῖν νοερὸν φῶς | ζητοῦνται τὰ ἐκ τῶν πραγμάτων λαμβανόμενα νοητὰ εἴδη πρὸς τὸ λαβεῖν τὴν τῶν ὑλικῶν γνῶσιν, τούτου χάριν οὐ διὰ μόνης τῆς μετοχῆς τῶν ἀϊδίων λόγων τὴν περὶ τῶν ὑλικῶν ἔχομεν εἴδησιν, εἰ καὶ ταῖς ἁγίαις καὶ καθαρθείσαις ἐνταῦθα ψυχαῖς ἀρκεῖ ἡ τῶν ἀϊδίων λόγων μέθεξις ἐκ τοῦ θείου φωτὸς πρὸς τὴν τοῦ ἀληθοῦς περὶ πάντων εἴδησιν.

6. Ὅτι ἡ νοερὰ γνῶσις ἐκ τῶν αἰσθητῶν πραγμάτων λαμβάνεται, ὡς δείκνυσιν Ἀριστοτέλης ἐν πρώτῳ τῶν μετὰ τὰ φυσικά, καὶ ἐν τῷ τέλει τῶν ὑστέρων ἀναλυτικῶν. Ἄλλως τε ἐπεί, ὡς προαποδέδεικται, ὁ ἐνεργείᾳ νοῦς ποιεῖ τὰ ἐκ τῶν αἰσθητῶν λαμβανόμενα φαντάσματα ἐνεργείᾳ νοητὰ κατὰ ἀφαίρεσίν τινα, διὰ μὲν τὰ φαντάσματα ἡ νοερὰ ἐνέργεια τὴν αἴσθησιν ἔχει αἴτιον· ἐπεὶ δὲ τὰ φαντάσματα οὐκ ἀρκεῖ πρὸς τὸ τὸν δυνάμει νοῦν μεταβαλεῖν, καὶ διὰ τοῦτο ἀνάγκη γίνεσθαι ἐνεργείᾳ νοητὰ διὰ τοῦ ἐνεργείᾳ νοῦ, οὐχ οἷόν τε λέγεσθαι τὴν αἰσθητικὴν γνῶσιν ὁλικὴν καὶ τελείαν αἰτίαν τῆς νοερᾶς, ἀλλὰ μᾶλλον τρόπον τινὰ ὑλικὴν εἶναι αἰτίαν· καὶ πρὸς τούτοις οὐδὲ δεῖ τὴν ἀλήθειαν παντελῶς ἐκ τῶν αἰσθήσεων ἀναμένειν· ζητεῖται γάρ, ὡς εἴρηται, τὸ φῶς τοῦ ἐνεργείᾳ νοῦ, δι' οὗ ἐν τοῖς μεταβαλλομένοις ἀμεταβλήτως γινώσκομεν τὴν ἀλήθειαν καὶ διακρίνομεν αὐτὴν τῶν αἰσθητῶν.

7. Ὅτι ὁ νοῦς ἐν τῷ νοεῖν τοῖς ἐν αὐτῷ νοητοῖς εἴδεσιν ἐπιστρέφει ἑαυτὸν πρὸς τὰ φαντάσματα, καὶ ἀδύνατον ἄλλως νοῆσαί τι ἐνεργείᾳ, εἰ μὴ τῇ τοιαύτῃ ἐπιστροφῇ· καὶ τούτου τεκμήριον ἓν μέν, ὅτι κωλυθείσης ἐνεργείας τινὸς τῆς φανταστικῆς δυνάμεως, βλαβέντος ὀργάνου τινός, ὡς ἐπὶ τῶν φρενίτιδι κατεχομένων, ἢ κωλυθείσης ἐνεργείας τινὸς τῆς μνημο-

---

12 Ps. 4, 6 13 Ps. 4, 7

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νευτικῆς δυνάμεως, εἴργεται ὁ ἄνθρωπος τοῦ νοεῖν ἐνεργείᾳ, καὶ τὰ ὧν τὴν ἐπιστήμην προείληφε· δεύτερον δέ, ὅτι ἀνατυποῦν εἰώθαμεν ἐν ἑαυτοῖς φαντάσματα ὥς τινα παραδείγματα, καὶ ἐν αὐτοῖς ὡσπερεὶ κατοπτεύομεν ἃ σπουδάζομεν νοεῖν, καὶ τοῖς διδασκομένοις προτίθεμεν παραδείγματα, ἐξ ὧν δυνήσονται τυποῦν ἑαυτοῖς φαντάσματα πρὸς τὸ νοεῖν. Ὡς γὰρ ὁ ἀγγελικὸς νοῦς πάντη κεχωρισμένος ἀντικείμενον ἔχει τὴν νοητὴν οὐσίαν, ᾗ ὡς νοητῷ γινώσκει τὰ ἔνυλα, οὕτως ὁ ἀνθρώπινος νοῦς σώματι συνημμένος ἀντικείμενον ἔχει τὴν ἔνυλον οὐσίαν ἢ φύσιν, καὶ διὰ τῶν τοιούτων | ὁρατῶν φύσεων εἰς τὴν τῶν ἀοράτων ἀμηγέπη γνῶσιν ἀνάγεται. Ἐν δὲ f. 259
τῷ λόγῳ τῆς φύσεως ταύτης ἐστὶ τὸ ἔν τινι ἀτόμῳ αὐτὴν ὑφεστάναι, ὅπερ οὐκ ἔστιν ἄνευ ὕλης σωματικῆς, ὥσπερ ἐν τῷ τοῦ λίθου λόγῳ ἐστὶ τὸ εἶναι ἐν τῷδε τῷ λίθῳ, καὶ ἐν τῷ λόγῳ τῆς φύσεως τοῦ ἵππου τὸ εἶναι ἐν τῷδε τῷ ἵππῳ, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Ὅθεν ἡ παντὸς ὑλικοῦ φύσις οὐ δύναται γινώσκεσθαι ἐντελῶς εἰ μὴ ὡς ἐν μερικῷ ὑφεστηκυῖα, τοῦ δὲ μερικοῦ διὰ τῆς αἰσθήσεως ἀντιλαμβάνομεν καὶ τῆς φαντασίας, καὶ διὰ τοῦτο πρὸς τὸ τὸν νοῦν ἐνεργείᾳ νοεῖν τὸ ἀντικείμενον αὐτῷ, δεῖ αὐτὸν ἐπιστρέφειν πρὸς τὰ φαντάσματα, ἵνα θεωρῇ τὴν καθόλου φύσιν ὑφεστηκυῖαν ἐν τῷ μερικῷ. Εἰ δὲ τοῦ ἡμετέρου νοῦ ἴδιον ἀντικείμενον ἦν ἡ νοητὴ οὐσία ὡς χωριστή, ἢ αἱ τῶν αἰσθητῶν φύσεις οὐκ ἐν τοῖς μερικοῖς ὑφεστήκεσαν, ὡς οἱ Πλατωνικοὶ ἠξίουν, οὐκ ἂν ἔδει τῷ νῷ τῆς τοιαύτης ἐπιστροφῆς.

Ἰστέον δὲ ὅτι τὰ ἀσώματα, ὧν οὐκ εἰσὶ φαντάσματα, γινώσκομεν τῇ πρὸς τὰ αἰσθητὰ παραθέσει, ὧν εἰσι φαντάσματα, ὥσπερ νοοῦμεν τὴν ἀλήθειαν, θεωροῦντες τὸ πρᾶγμα περὶ ὃ τὴν ἀλήθειαν θεωροῦμεν· τὸν δὲ Θεὸν γινώσκομεν ὡς αἰτίαν καὶ καθ' ὑπεροχὴν καὶ κατὰ ἀφαίρεσιν· τὰς δὲ ἄλλας ἀσωμάτους οὐσίας, δι' ἀφαιρέσεως, ἢ τινος πρὸς τὰ σωματικὰ παραθέσεως· καὶ διὰ τοῦτο, ὅταν τι περὶ τούτων νοῶμεν, ἀναγκαζόμεθα πρὸς τὰ φαντάσματα τῶν σωμάτων ἐπιστρέφεσθαι, εἰ καὶ τούτων οὐκ εἰσὶ φαντάσματα.

8. Ὅτι ἡ τοῦ νοῦ κρίσις κωλύεται τῇ ἀργίᾳ τῆς αἰσθήσεως. Πάντα γὰρ ὅσα ἐν τῇ παρούσῃ καταστάσει νοοῦμεν, τῇ πρὸς τὰ αἰσθητὰ παραθέσει γινώσκονται ὑφ' ἡμῶν· τέλος γὰρ ὡς τῆς πρακτικῆς ἐπιστήμης τὸ ἔργον, καὶ τῆς φυσικῆς τὸ κατ' αἴσθησιν ὄν· καὶ ὡς ὁ χαλκεὺς οὐ ζητεῖ τὴν τῆς μαχαίρας γνῶσιν εἰ μὴ διὰ τὸ ἔργον, οὕτως ὁ φυσικὸς οὐ ζητεῖ τὴν γνῶσιν τῆς φύσεως τῶν αἰσθητῶν εἰ μὴ ἵνα γινώσκῃ τοὺς λόγους τῶν κατ' αἴσθησιν φαινομένων· καὶ οὔτ' ἂν ὁ χαλκεὺς εἶχε τελείως τὴν γνῶσιν τῆς μαχαίρας εἰ τὸ ἔργον ἠγνόει, οὔτε τελείως ὁ φυσικὸς κρίνει περὶ τῶν φυσικῶν, εἰ τὰ αἰσθητὰ ἀγνοοῖντο, ἀργούσης τῆς αἰσθήσεως, δι' ὧν γινώσκονται.

---

**27** *νοῶμεν* corrigé de *νοοῦμεν* A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## LXXXV. — Περὶ τοῦ τρόπου καὶ τῆς τάξεως τοῦ νοεῖν.

1. Ὅτι ὁ νοῦς ὁ ἀνθρώπινος νοεῖ τὰ σωματικὰ καὶ ἔνυλα τῷ χωρίζειν τὰ εἴδη τῶν φαντασμάτων. Ἔχει γὰρ τὸν μέσον ὡσανεὶ τόπον τῆς τε αἰσθητικῆς γνώσεως, ἣ τῶν μερικῶν μόνων ἐστὶ καὶ ἐνύλων εἰδῶν, f. 259v καὶ τῆς ἀγγελικῆς, | ἥτις τὸ ἄνευ τῆς ὕλης ὑφεστὼς εἶδος προηγουμένως θεωρεῖ. Εἰ δὲ καὶ τὰ ἔνυλα γινώσκει, ἀλλ' ἐν τοῖς ἀΰλοις, ἢ ἐν ἑαυτοῖς δηλονότι, ἢ ἐν τῷ Θεῷ, καὶ ἡ μεσότης ἐστίν, ὅτι οὔτε ἐντελέχεια ὀργάνου σωματικοῦ ἐστιν, οὔτε κεχώρισται τῆς ψυχῆς, ἀλλ' ἔστιν αὐτῆς δύναμίς τις, οὔσης ἐντελεχείας σώματος, καὶ διὰ τοῦτο γινώσκει μὲν τὸ εἶδος τὸ ἄτομον ἐν τῇ σωματικῇ ὕλῃ ὑφεστώς, οὐ μέντοι καθὸ ἐν τῇ τοιαύτῃ ὕλῃ ἐστίν· τοῦτο δ' ἐστὶ τὸ ἀφαιρεῖν τὸ εἶδος τῆς ἀτόμου ὕλης, ἣν ὑπ' ὄψιν ἄγουσι τὰ φαντάσματα· διὰ δὲ τῶν ἐνύλων οὕτω θεωρηθέντων εἰς τὴν τῶν ἀΰλων ὁποιανδήποτε γνῶσιν καταντᾷ, ὡς ἀνάπαλιν οἱ ἄγγελοι τὰ ἔνυλα διὰ τῶν ἀΰλων γινώσκουσιν.

Εἰ δὲ λέγοι τις ψευδῆ εἶναι τὸν νοῦν νοοῦντα τὸ πρᾶγμα ἄλλως ἢ ἔχει, ῥητέον ὅτι τοῦτο τὸ ἄλλως, εἰ ἐπὶ τὸ νοούμενον ἀναφέροιτο, ἀληθὴς ὁ λόγος· ψευδὴς γὰρ ἂν ἦν ὁ νοῦς, εἰ οὕτως ἐχώριζε τοῦ λίθου τὸ εἶδος ἀπὸ τῆς ὕλης ἐν τῷ νοεῖν, ὥστε νοεῖν αὐτὸ μὴ εἶναι ἐν ὕλῃ. Εἰ δὲ ἐπὶ τοῦ νοοῦντος λαμβάνοιτο, οὐκ ἀληθής· ἔστι γὰρ ἄνευ ψεύδους, εἰ ἄλλος ἐστὶ τρόπος τοῦ νοῦ ἐν τῷ νοεῖν τοῦ τρόπου τοῦ πράγματος ἐν τῷ εἶναι· τὸ γὰρ νοηθὲν ἐστιν ἐν τῷ νοοῦντι ἀΰλως κατὰ τὸν τοῦ νοῦ τρόπον, ἀλλ' οὐχ ὑλικῶς κατὰ τὸν τοῦ ἐνύλου πράγματος τρόπον.

Ἰστέον δὲ ὅτι ὁ νοῦς χωρίζει τὸ φυσικὸν εἶδος τῆς ὕλης, τῆς αἰσθητῆς καὶ ἀτόμου καὶ σεσημασμένης, οἷον τούτων τῶν σαρκῶν, καὶ τούτων τῶν ὀστῶν, ἀλλ' οὐ τῆς κοινῆς αἰσθητῆς, οἷον ἁπλῶς σαρκῶν καὶ ὀστῶν· χωρίζει δὲ ταύτης διὰ τὸ μὴ εἶναι αὐτὴν ἐν τῷ λόγῳ τοῦ εἴδους, ἀλλ' εἶναι μέρη ἀτομικά, τὰ τῆς τοιαύτης ὕλης σημαίνοντα, καὶ διὰ τοῦτο χωρὶς αὐτῶν δύναται θεωρεῖσθαι, ἀλλ' οὐ χωρὶς τῆς κοινῆς ὕλης, ἤγουν σαρκῶν ἁπλῶς καὶ ὀστῶν· ἐν γὰρ τῷ λόγῳ τοῦ τοιούτου εἴδους εἰσὶ καὶ νοοῦνται. Χωρίζει ὁ νοῦς καὶ τὰ μαθηματικὰ εἴδη οὐ τῆς ἀτόμου μόνον, ἀλλὰ καὶ κοινῆς ὕλης τῆς αἰσθητῆς, οὐ μέντοι τῆς κοινῆς νοητῆς ὕλης· ἡ μὲν γὰρ αἰσθητικὴ σωματικὴ λέγεται διὰ τὸ ὑποκεῖσθαι ταῖς αἰσθηταῖς ποιότησιν· ἡ δὲ νοητὴ ὕλη ὑπόστασις λέγεται ὡς ὑφισταμένη τῇ ποσότητι, πρότερον τῶν αἰσθητῶν ποιοτήτων ὑφισταμένη ἐν οὐσίᾳ. Ὅθεν αἱ ποσότητες καὶ οἱ ἀριθμοὶ καὶ τὰ σχήματα, ἃ τῶν ποιοτήτων εἰσὶν ὅροι, δύνανται θεωρεῖσθαι καὶ χωρὶς τῶν ποιοτήτων, ὅπερ ἐστὶν ἀφαιρεῖσθαι ταύτας τῆς αἰσθητῆς ὕλης· ἀλλ' οὐ δύνανται θεωρεῖσθαι ἄνευ τοῦ θεωρεῖν τὴν οὐσίαν f. 260 τὴν τῇ ποσότητι ὑποκειμένην, ἥ ἐστιν ἡ νοητὴ κοινὴ ὕλη. | Δύνανται μέντοι θεωρεῖσθαι ἄνευ ταύτης ἢ ἐκείνης τῆς οὐσίας, ὅ ἐστιν ἀφαιρεῖσθαι τῆς

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

νοητῆς καὶ ἀτόμου ὕλης· εἰσὶ δέ τινα δυνάμενα ἀφαιρεῖσθαι καὶ τῆς νοητῆς καὶ κοινῆς ὕλης, ὥσπερ τὸ ὄν, τὸ ἕν, ἡ δύναμις, ἡ ἐντελέχεια καὶ ἄλλα τοιαῦτα, ἃ δύνανται εἶναι καὶ πάσης ὕλης χωρίς, ὃ δῆλον ἐπὶ τῶν ἀΰλων οὐσιῶν.

Τὸ δὲ τὰ φαντάσματα ὑπὸ τοῦ ἐνεργείᾳ νοῦ φωτίζεσθαι λέγεσθαι, ὃς ἔχει πρὸς αὐτὰ ὡς τὸ φῶς πρὸς τὰ πράγματα, οὐκ ἐμποδίζει τῷ λόγῳ· φωτίζονται μὲν γὰρ ὥστε γενέσθαι ἐπιτηδειότερα πρὸς τὸ τὰς νοητὰς ἐννοίας ἀπ' αὐτῶν ἀφαιρεῖσθαι· ἀφαιροῦνται δὲ ἀπ' αὐτῶν τὰ νοητὰ εἴδη τῷ νῷ τῷ ἐνεργείᾳ, ὥστε ἀφαιρεθέντων τῇ ἐκείνου δυνάμει, λαμβάνεσθαι ἡμῖν τὰς τῶν εἰδῶν φύσεις ἄνευ τῶν ἀτόμων ἰδιωμάτων, ὧν κατὰ τὰς ὁμοιότητας φθάνει τυπούμενος ὁ δυνάμει νοῦς. Οὕτως οὖν νοήσας ὁ νοῦς τὰς τῶν πραγμάτων φύσεις καθόλου, ὅμως νοεῖ ταύτας ἐν τοῖς φαντάσμασιν, ὡς προείρηται, ἐπεὶ οὐδὲ ἀφαιρεῖν δύναται οὐδὲ νοεῖν ἐκεῖνα ὧν ἀφαιρεῖ τὰ εἴδη, μὴ ἐπιστρέφων ἐπὶ τὰ φαντάσματα ἑαυτόν.

2. Ὅτι τὸ νοητὸν εἶδος, τὸ ἐκ τῆς ἀφαιρέσεως τῶν φαντασμάτων, οὐκ ἔστι τὸ νοούμενον ἐνεργείᾳ, ἀλλὰ μᾶλλον ᾧ νοεῖ ὁ νοῦς. Διπλῆς γὰρ οὔσης τῆς ἐνεργείας, τῆς τε μενούσης ἐν τῷ ἐνεργοῦντι, ὡς τὸ ὁρᾶν, καὶ τῆς μεταβαινούσης, ὡς τὸ πρίζειν, καὶ ἑκατέρας κατά τι εἶδος γινομένης, τὸ εἶδος ἑκατέρας τοῦ τῆς ἐνεργείας ἀντικειμένου ὁμοιότης ἐστίν· ἥ τε γὰρ τοῦ θερμαίνοντος θέρμη τοῦ θερμαινομένου ἐστὶν ὁμοιότης καὶ ἡ τοῦ ὁρατοῦ ὁμοιότης ἐστὶ καθ' ἣν ἡ ὄψις ὁρᾷ, καὶ ἡ τοῦ νοητοῦ ὁμοιότης, ὅπερ ἐστὶ τὸ νοητὸν εἶδος, καθὸ νοεῖ ὁ νοῦς· ἔχει μέντοι διαφορὰν ἐπὶ τῆς πρώτης καὶ δευτέρας, φανερὰν οὖσαν. Ἀλλ' ἐπεὶ ὁ νοῦς εἰς ἑαυτὸν ἐπιστρέφει, κατὰ τὴν αὐτὴν ἐπιστροφὴν νοεῖ καὶ τὸ νοεῖν ἑαυτοῦ καὶ τὸ εἶδος ᾧ νοεῖ, καὶ οὕτω τὸ νοητὸν εἶδος κατὰ μὲν δεύτερον λόγον ἐστὶν αὐτὸ τὸ νοούμενον· τὸ δὲ πρώτως νοούμενον τὸ πρᾶγμα μᾶλλόν ἐστιν, οὗ τὸ νοητὸν εἶδός ἐστιν ὁμοιότης.

3. Ὅτι τὰ καθολικώτερα πρότερά εἰσιν ἐν τῇ ἡμετέρᾳ νοερᾷ γνώσει. Ἡ γὰρ νοερὰ γνῶσις ἐκ τῆς αἰσθητικῆς ἁμηγέπη ἄρχεται, καὶ ἐπεὶ ἡ αἴσθησις τῶν μερικῶν, ὁ δὲ νοῦς τῶν καθόλου, ἀνάγκη τὴν τῶν μερικῶν γνῶσιν προτέραν εἶναι ἡμῖν τῆς γνώσεως τῶν καθόλου.

Ἔτι, ὁ ἡμέτερος νοῦς ἐκ δυνάμεως πρόεισιν εἰς ἐνέργειαν· πᾶν δὲ τοιοῦτον πρῶτον ἀφικνεῖται εἰς ἐνέργειαν ἀτελῆ, μεταξὺ οὖσαν | δυνάμεως f. 260v
καὶ ἐνεργείας· εἶτα εἰς τελείαν ἐνέργειαν· ἐνέργεια δὲ τελεία τοῦ νοῦ ἡ τελεία ἐπιστήμη ἐστίν, δι' ἧς διακεκριμένως καὶ ὡρισμένως γινώσκονται τὰ πράγματα· ἐνέργεια δὲ ἀτελής, ἡ ἀτελὴς ἐπιστήμη δι' ἧς ἀδιακρίτως γινώσκονται καὶ ὥσπερ συγκεχυμένως. Τὸ γὰρ οὕτω γινωσκόμενον πῇ μὲν γινώσκεται τρόπον τινὰ ἐνεργείᾳ· γινώσκεται δὲ τρόπον τινὰ καὶ δυνάμει. Ὅθεν ἐν πρώτῃ τῶν φυσικῶν λέγεται, ὅτι εἰσὶ πρῶτον φανερὰ ἡμῖν καὶ γνώριμα τὰ μᾶλλον συγκεχυμένα, ὕστερον δὲ γινώσκομεν τῷ

Ε.Υ.Δ της Κ.Π
ΙΩΑΝΝΙΝΑ 2006

διορίζειν τὰ στοιχεῖα καὶ τὰς ἀρχάς. Τὸ δὲ γινώσκειν τι ἐν ᾧ πλείω περιέχεται ἄνευ τοῦ ἔχειν ἰδίαν γνῶσιν περὶ ἑκάστου, μετά τινος συγχύσεως γινώσκειν ἐστίν· οὕτω δὲ νοεῖται καὶ τὸ καθόλου ὅλον καὶ τὸ συνεχὲς ὅλον ἄνευ τοῦ τὰ μέρη διακεκριμένως γινώσκεσθαι· τὸ δὲ διακεκριμένως γινώσκειν τὸ ὅλον κατὰ τὰ εἴδη ἢ τὰ μέρη αὐτοῦ, τὸ διωρισμένως γινώσκειν ἐστίν, καὶ τότε τὸ ὅλον ἀληθῶς καὶ κυρίως γινώσκεται. Πρότερον τοίνυν προσπίπτει τῷ ἡμετέρῳ νῷ τὸ γινώσκειν τὸ ζῷον, ἢ τὸν ἄνθρωπον· ὁ δ' αὐτὸς λόγος, εἰ παραβάλλοι μὲν καὶ πᾶν καθολικώτερον πρὸς τὸ ἧττον καθόλου· ἡ αὐτὴ δὲ καὶ ἐν τῇ αἰσθήσει τάξις· καὶ αὕτη γὰρ ἀπὸ δυνάμεως πρόεισιν εἰς ἐνέργειαν. Καὶ κατ' αὐτὴν γὰρ πρότερον κρίνομεν τὸ κοινότερον ἢ τὸ ἧττον κοινὸν καὶ τόπῳ καὶ χρόνῳ· κατὰ τόπον μέν, ὅτι πόρρωθεν ὁρᾶται σῶμα πρότερον, εἶτα ζῷον, καὶ πρῶτον ζῷον, εἶτα ἄνθρωπος, καὶ πρότερον ἄνθρωπος, εἶτα Σωκράτης· κατὰ δὲ χρόνον, ὅτι πρότερον διακρίνει τὸν ἄνθρωπον τοῦ μὴ ἀνθρώπου ἢ τοῦτον τὸν ἄνθρωπον ἐκείνου· καὶ διὰ τοῦτο οἱ παῖδες ἐν ἀρχῇ πάντας καλοῦσι πατέρας, εἶτα χρόνῳ διακρίνουσιν· καὶ τούτου αἰτία, ὅτι ὁ ἀδιακρίτως τι ἐπιστάμενος ἐν δυνάμει ἐστὶ πρὸς τὸ τὴν τῆς διακρίσεως γνῶναι ἀρχήν, ὥσπερ ὁ τὸ γένος εἰδὼς ἐν δυνάμει ἐστὶ πρὸς τὸ τὴν διαφορὰν γινώσκειν. Δεῖ τοίνυν λέγειν, ὅτι ἡ τῶν μερικῶν γνῶσις, προτέρα τῆς τῶν μερικῶν πρὸς ἡμᾶς· κατὰ δὲ τὸν νοῦν ἡ κοινοτέρα, προτέρα τῆς ἧττον κοινῆς.

Εἰ δὲ λέγοι τις, ὅτι τὰ τῆς φύσεως πρότερα, τῇ ἡμετέρᾳ γνώσει ὕστερα κατὰ τὸν Φιλόσοφον, τὰ δὲ καθόλου τῇ φύσει πρότερα, ῥητέον, ὅτι τὸ καθόλου ἢ θεωρεῖται κατὰ τὴν τῆς ὁλότητος ἔννοιαν, ὡς ἓν καὶ ταὐτὸν δηλονότι πρὸς πολλὰ σχέσιν ἔχειν, καὶ ὡς πρόεισιν ἐκ τῆς τοῦ νοῦ ἀφαιρέσεως, καὶ οὕτως ὕστερόν ἐστιν, ὡς ἐν τῷ πρώτῳ τοῦ περὶ ψυχῆς λέγεται, ὅτι τὸ καθόλου ζῷον ἢ οὐδέν ἐστιν, ἢ ὕστερον, ἢ κατ' αὐτὴν τὴν φύσιν ἑκάστου καθόλου, ἤγουν τῆς ζωότητος, ἢ τῆς ἀνθρωπότητος ὡς εὑρίσκεται ἐν τοῖς μερικοῖς· καὶ αὕτη ἡ τάξις τῆς φύσεως διπλῆ· μία
f. 261 μὲν τῇ ὁδῷ τῆς γενέσεως | καὶ τοῦ χρόνου, καθ' ἣν τὰ δυνάμει καὶ ἀτελῆ, πρότερα τῷ χρόνῳ, καὶ οὕτω τὸ μᾶλλον καθόλου, πρότερον τῇ γενέσει· πρότερον γὰρ γίνεται ζῷον ἢ ἄνθρωπος· ἄλλη δὲ ἡ τῆς τελειότητος καὶ τοῦ σκοποῦ τῆς φύσεως, ὡς ἡ ἐνέργεια, προτέρα τῆς δυνάμεως, καὶ τὸ τέλος, τοῦ ἀτελοῦς· ὁ γὰρ τῆς φύσεως σκοπὸς οὐκ ἔστιν ἐν τῇ γενέσει τοῦ ζῴου, ἀλλ' ἄνθρωπον γεννῆσαι σκοπεῖ.

4. Ὅτι ὁ ἡμέτερος νοῦς οὐ δύναται ἅμα πλείω νοεῖν· τοῦτο γὰρ μόνῳ τῷ νῷ προσήκει, τῷ καθ' ἓν εἶδος νοοῦντι πλείω, ὅς ἐστιν ὁ Θεός, τῇ αὐτοῦ οὐσίᾳ πάντα νοῶν· ὁ δὲ κατὰ διάφορα εἴδη νοῶν νοῦς οὐ δύναται ἅμα διαφόροις νοητοῖς εἴδεσι τελειοῦσθαι πρὸς τὸ νοεῖν διάφορα ἐνεργείᾳ.

5. Ὅτι νοεῖ τῷ συντιθέναι καὶ διαιρεῖν· ἐκ δυνάμεως γὰρ εἰς ἐνέρ-

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γειαν πρόεισιν, καὶ τὴν τελειότητα κατὰ τὸ ἐφεξῆς λαμβάνει. Πρῶτον μὲν γὰρ ἀντιλαμβάνεται τῆς οὐσίας τοῦ πράγματος, ἥ ἐστι πρῶτον τοῦ νοῦ ἀντικείμενον· εἶτα τὰς ἰδιότητας καὶ τὰ συμβεβηκότα νοεῖ καὶ τὰς περὶ τὴν οὐσίαν σχέσεις ἁπάσας, καὶ οὕτως ἓν νόημα ἄλλῳ συντίθησι, καὶ διαιρεῖ, καὶ ἀπὸ ἄλλης συνθέσεως ἢ διαιρέσεως ἐπ' ἄλλην πρόεισιν, ὅπερ ἐστὶ συλλογίζεσθαι. Ὁ μέντοι γε θεῖος νοῦς καὶ ὁ ἀγγελικὸς ὅλην τελείως εὐθὺς τὴν τοῦ πράγματος ἔχει γνῶσιν τῷ τὴν αὐτοῦ οὐσίαν εἰδέναι χωρὶς συνθέσεως καὶ διαιρέσεως.

6. Ὅτι ὁ νοῦς οὐ δύναται εἶναι ψευδής. Ὡς γὰρ ἡ αἴσθησις οὐκ ἀπατᾶται περὶ τὸ αὐτῆς ἀντικείμενον, εἰ μή που κατὰ συμβεβηκός, ἤγουν τοῦ ὀργάνου μεταβληθέντος πῃ, ὡς ἡ γλῶσσα τοῦ πυρέττοντος δείκνυσιν αὐτῷ τὰ γλυκέα πικρά, πονηρῶν χυμῶν πληρωθεῖσα· ἀπατᾶται δὲ μόνον περὶ τὰ κοινὰ αἰσθητά, ὡς ὅταν κρίνῃ τὸν ἥλιον ποδιαῖον· ἢ τὰ κατὰ συμβεβηκὸς αἰσθητά, πολλῷ μᾶλλον, κρίνουσα τὴν χολὴν εἶναι μέλι διὰ τὴν τοῦ χρώματος ὁμοιότητα· οὕτως καὶ ὁ νοῦς περὶ τὴν οὐσίαν τοῦ πράγματος οὐ πλανᾶται, ἀλλ' εἰς τὰ περὶ τὴν οὐσίαν, ὅταν ἓν πρὸς ἕτερον τάττῃ, συντιθεὶς καὶ διαιρῶν, καὶ ὅλως συλλογιζόμενος. Ὅθεν οὐδὲ περὶ ἐκείνας τὰς προτάσεις δύναται πλανηθῆναι, αἵτινες αὐτίκα γινώσκονται, τῆς οὐσίας τῶν ὅρων γνωσθείσης, οἷαι αἱ πρῶται ἀρχαί, ἐξ ὧν ἀσφαλὴς ἡ ἀλήθεια καὶ τὸ τῆς ἐπιστήμης βέβαιον περὶ τὰ συμπεράσματα. Κατὰ συμβεβηκὸς μέντοι γε ἀπατᾶται ἐν τοῖς συνθέτοις περὶ τὸ τί ἦν εἶναι, οὐ δι' ὄργανον· οὐ γὰρ ἔχει· ἀλλὰ διὰ τὴν τῶν ὁρισμῶν σύνθεσιν· ἢ ὅταν ὁ τοῦ ἑνὸς ὁρισμὸς ψευδὴς ᾖ περὶ ἄλλου, ὡς ὁ τοῦ κύκλου περὶ τὸ τρίγωνον, | ἢ ὅταν ψευδής τις ᾖ καθ' αὐτόν, σύνθεσιν ἀδυνάτων ἐν ἑαυτῷ f. 261v
περιέχων, ὥσπερ ἂν εἰ τὸ ζῷον λογικὸν πτερωτὸν ὁρίζοιτό τις περί τινος. Ἐν δὲ τοῖς ἁπλοῖς οὐ δυνάμεθα ἀπατηθῆναι· σφαλλόμεθα δὲ τῷ μὴ δι' ὅλου τοῦ πράγματος ἅπτεσθαι.

7. Ὅτι ἄλλος ἄλλου δύναται βέλτιον τὸ αὐτὸ νοεῖν καὶ μᾶλλον, τῆς διαφορᾶς ταύτης οὐκ ἀπὸ τοῦ νοουμένου πράγματος ἀνισχούσης, ἀλλ' ἀπὸ τοῦ νοοῦντος ἢ διὰ τὸ τελειότερον εἶναι τόνδε τὸν νοῦν, καὶ δυνάμεως μείζονος ἐν τῷ νοεῖν. Πρὸς ὃ ἡ διάθεσις τοῦ σώματος συμβάλλεται, ὥς φησιν ὁ Φιλόσοφος τοὺς μαλακοσάρκους εὐφυεστέρους εἶναι, ἢ διὰ τὰς ὑποδεεστέρας δυνάμεις ὧν πρὸς τὴν ἑαυτοῦ ἐνέργειαν δεῖται ὁ νοῦς· ἐν οἷς γὰρ ἡ φανταστικὴ καὶ μνημονευτικὴ δύναμις βέλτιον διάκειται, ἐκεῖνοι καὶ πρὸς τὸ νοεῖν ἐπιτηδειότεροι.

8. Ὅτι ὁ ἡμέτερος νοῦς πρότερον γινώσκει τὸ διῃρημένον ἢ τὸ ἀδιαίρετον· ἡ γὰρ στέρησις ὕστερον γινώσκεται· τὸ δὲ ἀδιαίρετον ὥσπερ στέρησίς ἐστιν.

Ἰστέον δὲ ὅτι τὸ ἀδιαίρετον, τριχῶς· ἢ τὸ συνεχές, ὃ δυνάμει μόνον διαιρετόν· καὶ τοῦτο γινώσκεται πρὸ τῆς εἰς τὰ μέρη αὐτοῦ διαιρέ-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

σεως, ὡς ἡ συγκεχυμένη γνῶσις προτέρα τῆς διακεκριμένης ἐρρήθη· ἢ τὸ κατὰ λόγον, ὡς δῆλον, ὅτι ὁ λόγος πρότερον γινώσκεται τῆς εἰς τὰ μέρη αὐτοῦ διαιρέσεως, οἷον ὁ τοῦ ἀνθρώπου λόγος· ἢ τὸ πάντα ἀδιαίρετον, ὡς τὸ σημεῖον καὶ ἡ μονάς, καὶ τοῦτο ὕστερον γινώσκεται τῇ στερήσει τοῦ διαιρετοῦ, ὥσπερ τὸ σημεῖον στερητικῶς ὁριζόμεθα, καὶ τὸ ἓν δέ, οὗ λόγος τὸ ἀδιαίρετον, ὕστερον γινώσκομεν· τοῦτο γὰρ ἔχει τινὰ ἀντίθεσιν πρὸς τὸ σωματικὸν ὄν, οὗ τὴν οὐσίαν πρώτως καὶ καθ' αὑτὴν νοεῖ ὁ ἡμέτερος νοῦς.

## LXXXVI. — Περὶ τοῦ τί ἐν τοῖς ὑλικοῖς γινώσκει ὁ νοῦς.

1. Ὅτι ὁ νοῦς ἡμῶν οὐ γινώσκει τὰ μερικὰ πρώτως καὶ καθ' αὑτόν, ἀλλὰ μόνον τὸ καθόλου, ὃ ἀφαιρεῖ ἀπὸ τῆσδε τῆς ὕλης καὶ τῆσδε, ἥ ἐστιν αἰτία τοῦ εἶναί τι μερικόν· πλαγίως δὲ καὶ ὥσπερ κατά τινα ἐπιστροφὴν δύναται γινώσκειν καὶ τὰ καθ' ἕκαστα, ἐπεὶ καὶ μετὰ τὴν ἀφαίρεσιν οὐ δύναται νοεῖν τὰ νοητὰ εἴδη ἐνεργείᾳ εἰ μὴ τῷ ἐπιστρέφειν ἑαυτὸν εἰς τὰ φαντάσματα, ἐν οἷς τὰ εἴδη νοεῖ, ὡς ἐν τρίτῳ περὶ ψυχῆς· καὶ οὕτω πλάττει τὴν πρότασιν ταύτην· „Ὁ Σωκράτης ἄνθρωπός ἐστιν".

2. Ὅτι οὐ δύναται γινώσκειν τὰ ἄπειρα· ὡς γὰρ ἐν πρώτῳ τῶν φυσικῶν, τὸ ἄπειρον, ᾗ ἄπειρον, ἄγνωστόν ἐστιν. Ἔτι, οὔτε κατ' ἐνέργειαν τοῦτο δυνατὸν αὐτῷ· οὐ γὰρ δύναται ὁμοῦ πλείω νοεῖν· οὔτε καθ' ἕξιν, ἢ προϋποτίθησι | f. 262 τὴν κατ' ἐνέργειαν θεωρίαν· ἀλλὰ μόνον δυνάμει, ἐν τῷ λαμβάνειν δηλαδὴ ἓν μετ' ἄλλο. Οὐ γὰρ ἔχει ποτὲ ὁ νοῦς ἡμῶν οὕτως, ὥστε, πλείστων νοηθέντων, μὴ δύνασθαι καὶ ἄλλα νοεῖν ἐκ διαδοχῆς.

3. Ὅτι γνωστικός ἐστι τῶν ἐνδεχομένων οὐ καθόσον εἰσὶν ἐνδεχόμενα μόνον· οὕτω γὰρ ἡ αἴσθησις αὐτῶν γνωστική· ἀλλὰ καθόσον καὶ ἀνάγκης τί ἐστιν ἐν αὐτοῖς. Τὸ γὰρ τὸν Σωκράτην τρέχειν ἐνδεχόμενόν ἐστι καθ' αὑτό· ἡ δὲ τοῦ δρόμου πρὸς τὴν κίνησιν σχέσις ἀναγκαία· ἀνάγκη γὰρ κινεῖσθαι αὐτόν, εἰ τρέχοι· καὶ ἔστιν ἕκαστον ἐνδεχόμενον μὲν διὰ τὴν ὕλην, δυνάμενον εἶναι καὶ μὴ εἶναι· ἡ δὲ δύναμις τῆς ὕλης ἐστίν· ἡ δὲ ἀνάγκη τῷ λόγῳ τοῦ εἴδους ἕπεται· ἐξ ἀνάγκης γὰρ ἔνεισι τὰ τῷ λόγῳ ἑπόμενα. Καὶ ἡ μὲν ὕλη ἀρχὴ τοῦ ἄτομον εἶναι· ὁ δὲ καθόλου λόγος κατὰ ἀφαίρεσιν τοῦ εἴδους ἀπὸ τῆς ἀτόμου ὕλης λαμβάνεται. Εἴρηται δέ, ὅτι προηγουμένως καὶ καθ' αὑτὸν ὁ νοῦς τῶν καθόλου ἐστίν, ἡ δὲ αἴσθησις τῶν καθ' ἕκαστα, ὧν καὶ ὁ νοῦς πλαγίως ἐστίν.

4. Ὅτι οὐ γινώσκει τὰ μέλλοντα ἐν ἑαυτοῖς· ὑπὸ γὰρ μόνου τοῦ Θεοῦ οὕτω γινώσκονται, ᾧ πάντα εἰσὶ παρόντα, τῆς αὐτοῦ νοήσεως ἐπὶ πάντα φερομένης τὸν χρόνον ὁμοῦ. Ἐν δὲ ταῖς αὐτῶν αἰτίαις ἔνια γινώσκει· καὶ τὰ μὲν ἀναγκαίως ἐξ αὐτῶν προϊόντα βεβαίᾳ ἐπιστήμῃ γινώσκει, ὡς οἱ ἀστρολόγοι τὴν μέλλουσαν ἔκλειψιν· τὰ δέ, ὡς ἐπὶ τὸ πλεῖστον,

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

στοχαστικῶς, ἢ μᾶλλον καὶ ἧττον, καθόσον καὶ τὰ αἴτια μᾶλλον ἢ ἧττον ἐπὶ τὰ ἀποτελέσματα ῥέπουσιν.

## LXXXVII. — Περὶ τοῦ πῶς γινώσκει ἑαυτὴν ἡ νοερὰ ψυχὴ καὶ τὰ ἐν ἑαυτῇ.

1. Ὅτι οὐ γινώσκει ἑαυτὴν τῇ ἑαυτῆς οὐσίᾳ. Ἐν γὰρ τρίτῳ περὶ ψυχῆς λέγεται, ὅτι ὁ νοῦς γινώσκει ἑαυτὸν καὶ νοεῖ ὥσπερ καὶ τὰ ἄλλα· οὐ νοεῖ δὲ τὰ ἄλλα διὰ τῶν οὐσιῶν αὐτῶν, ἀλλὰ διὰ τῶν ὁμοιοτήτων αὐτῶν· οὐδ' ἄρα ἑαυτὸν δι' ἑαυτοῦ νοεῖ. Ὁ Θεὸς δὲ μόνος, ὡς προαποδέδεικται, διὰ τῆς ἑαυτοῦ οὐσίας καὶ ἑαυτὸν καὶ πάντα νοεῖ, ἥτις ἐστὶν ἐνέργεια καθαρὰ καὶ τελεία, καὶ διὰ τοῦτο ἁπλῶς ἐστι νοητή. Καὶ ὁ ἄγγελος δὲ νοεῖ μὲν ἑαυτὸν διὰ τῆς ἑαυτοῦ οὐσίας, οὐ μέντοι δύναται πάντα δι' αὐτῆς γινώσκειν· εἰ γὰρ καὶ ἐνέργειά ἐστιν ἡ οὐσία τοῦ ἀγγέλου, ἀλλ' οὐκ ἐνέργεια γυμνὴ καὶ τελεία, οὔτε πληροῦται διὰ τῆς οὐσίας αὐτῆς τὸ νοεῖν αὐτῆς.

2. Ὅτι ὁ νοῦς γινώσκει τὰς τῆς ψυχῆς ἕξεις οὐ διὰ τῆς οὐσίας αὐτῶν, ἀλλὰ διὰ τῶν ἐνεργειῶν αὐτῶν· καὶ γινώσκει ἢ τῇ παρουσίᾳ αὐτῇ τῶν ἕξεων, ᾗ ἕπεται ἡ ἐνέργεια αὐτῶν, ἢ δι' ἀκριβοῦς ζητήσεως.

3. Ὅτι ὁ νοῦς νοεῖ τὴν ἰδίαν ἐνέργειαν. Ἔστι γὰρ οὐ τείνουσα ἔξω, f. 262v
ἀλλ' ἐν τῷ ἐνεργοῦντι μένουσα. Διότι δὲ οὐκ ἔστιν αὐτὸς τὸ νοεῖν αὐτοῦ, οὔτε ἡ οὐσία αὐτοῦ, ὡς ἐπὶ τοῦ Θεοῦ, διὰ τοῦτο οὐχ ὥσπερ ὁ θεῖος νοῦς, ἅμα καὶ ὡς ταὐτὸν νοεῖ ἑαυτὸν νοοῦντα καὶ νοεῖ τὴν ἰδίαν οὐσίαν, ἀλλὰ πρῶτον μὲν νοεῖ τὸ ἀντικείμενον αὐτοῦ, δεύτερον νοεῖ τὴν ἐνέργειαν αὐτήν, ἧς τὸ ἀντικείμενον γινώσκει, καὶ διὰ τῆς ἐνεργείας γινώσκει καὶ ἑαυτόν, οὗ τελείωσίς ἐστιν αὐτὸ τὸ νοεῖν. Καὶ διὰ τοῦτο φησὶν ὁ Φιλόσοφος, ὅτι τὰ ἀντικείμενα προγινώσκονται τῶν ἐνεργειῶν, καὶ αἱ ἐνέργειαι τῶν δυνάμεων.

4. Ὅτι νοεῖ καὶ τὴν ἐνέργειαν τῆς θελήσεως. Ἔστι γὰρ ἡ νοερὰ ῥοπή, αὐτὴ οὖσα ἡ τῆς θελήσεως ἐνέργεια, νοητῶς ἐν τῷ νοοῦντι ὡς ἐν ἀρχῇ καὶ ἐν ἰδίῳ ἀντικειμένῳ. Τούτῳ δὲ τῷ τρόπῳ τῆς διαλέξεως καὶ ὁ Φιλόσοφος ἐν τρίτῳ περὶ ψυχῆς κέχρηται λέγων, ὅτι ἡ θέλησις ἐν τῷ λόγῳ ἐστίν· ὃ δὲ νοούμενον ἔν τινι νοοῦντί ἐστιν, ἑπόμενόν ἐστι καὶ ὑπ' ἐκείνου νοεῖσθαι. Ὅθεν ἡ τῆς θελήσεως ἐνέργεια νοεῖται ὑπὸ τοῦ νοῦ, καὶ καθόσον τις νοεῖ θέλοντα ἑαυτόν, καὶ καθόσον τις νοεῖ τὴν φύσιν τῆς ἀρχῆς αὐτῆς, ὅπερ ἐστὶν ἕξις ἢ δύναμις.

## LXXXVIII. — Περὶ τοῦ πῶς νοεῖ ἡ ἀνθρωπίνη ψυχὴ τὰ ὑπὲρ αὐτήν.

1. Ὅτι οὐ δύναται κατὰ τὴν παροῦσαν ζωὴν νοεῖν τὰς κεχωρισμένας οὐσίας, εἰ μὴ κατὰ Πλάτωνα μόνον, ὃς εἴδη ἐτίθει ὑφεστῶτα καὶ ἄϋλα, ἀντικείμενα τοῦ ἡμετέρου νοῦ, καὶ πρώτως καὶ καθ' αὑτὰ νοούμενα

Ε.Υ.Δ της Κτ.ΙΙ
ΙΩΑΝΝΙΝΑ 2006

ὑπ' αὐτοῦ. Προσάγεσθαι δὲ ἔλεγε καὶ τοῖς ὑλικοῖς τὴν τῆς ψυχῆς γνῶσιν διὰ τὸ τὴν φαντασίαν καὶ τὴν αἴσθησιν τῷ νῷ παραμίγνυσθαι· ὅθεν τὸν μᾶλλον καθαρεύοντα νοῦν καταληπτικώτερον εἶναι τῆς ἀΰλου καὶ νοητῆς ἀληθείας. Ἀλλὰ κατὰ Ἀριστοτέλη καὶ τὴν ἐν τῷ κοινῷ κρατήσασαν δόξαν, ὁ ἡμέτερος νοῦς ἐν τῇ ζωῇ ταύτῃ φυσικὴν ἔχει σχέσιν πρὸς τὰς φύσεις τῶν ὑλικῶν· ὅθεν οὐδὲ νοεῖ εἰ μὴ τῷ ἐπιστρέφειν ἑαυτὸν πρὸς τὰ φαντάσματα, καὶ διὰ τοῦτο τὰς μὴ αἰσθήσει καὶ φαντασίᾳ ὑποπιπτούσας ἀΰλους οὐσίας οὐ δυνάμεθα νοεῖν πρώτως καὶ καθ' αὑτὰς τῷ διὰ πείρας ἡμῖν ἐγνωσμένῳ τῆς νοήσεως τρόπῳ. Ἐν οὐδενὶ γὰρ λόγῳ εἰσὶ πρὸς τὸν ἡμέτερον νοῦν κατὰ τὴν παροῦσαν ζωήν, ὥστε ὑπ' ἐκείνου νοεῖσθαι δύνασθαι. Γινώσκουσα μέντοι ἑαυτὴν ἡ ψυχή, ἀφικνεῖται καὶ πρὸς τὸ κτήσασθαί τινα περὶ τῶν ἀσωμάτων οὐσιῶν ἐπιστήμην τὴν δυνατήν· οὐ τῷ ἑαυτὴν γινώσκειν κἀκείνας ἁπλῶς καὶ τελείως γινώσκει.

3. Ὅτι πολλῷ ἔλαττον δυνήσεται γνῶναι τὴν ὕπαρξιν τῆς ἀκτίστου
f. 263 οὐσίας· καὶ διὰ τοῦτο οὐκ ἔστι | τὸ πρώτως ὑφ' ἡμῶν γινωσκόμενον ὁ Θεός, ἀλλὰ μᾶλλον διὰ τῶν κτισμάτων ἐπὶ τὴν αὐτοῦ γνῶσιν ἐρχόμεθα· τὸ δὲ πρῶτον ὑφ' ἡμῶν γινωσκόμενον ἡ ἔνυλος οὐσία ἐστίν, ἀντικείμενον οὖσα ἡμετέρου νοῦ, ὡς πολλάκις εἴρηται.

Εἰ δὲ Αὐγουστῖνος φησίν, ὅτι τῷ τῆς πρώτης ἀληθείας φωτὶ πάντα νοοῦμεν καὶ κρίνομεν, ἀλλὰ δεῖ νοεῖσθαι τοῦτο, ὅτι τὸ φῶς τοῦ ἡμετέρου νοῦ, ἢ τὸ φυσικόν, ἢ τὸ ἐκ τῆς χάριτος, ἐνέργειά τις τῆς πρώτης ἀληθείας ἐστίν. Εἰ δὲ τὸ τοῦ νοῦ φῶς οὐχ ὡς τὸ νοούμενον ἀλλ' ὡς τὸ ᾧ νοεῖται πρὸς τὸν ἡμέτερον ἔχει νοῦν, πολλῷ ἧττον ὁ Θεὸς ἔσται τὸ πρώτως ἡμῖν νοούμενον.

Καὶ εἰ διὰ τὸν Θεὸν τὰ ἄλλα γινώσκονται, οὐχ ὡς διὰ τὸ πρώτως γνωστόν, ἀλλὰ ὡς διὰ πρώτην τῆς γνωστικῆς δυνάμεως αἰτίαν, καὶ ὡς καταλάμποντα τῇ χάριτι τὸν ἡμέτερον νοῦν· αὐτὸς γάρ „ἐστι τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον", καὶ τὰ ἑξῆς.

Οὔτε ἡ ἐν τῷ ἀνθρώπῳ εἰκὼν τοῦ Θεοῦ τελεία ἐστὶν ὡς ἐν τῷ θείῳ Λόγῳ, ἵνα αὐτίκα νοῇ τὸν Θεὸν ὡς ὁ Λόγος αὐτοῦ, ἀλλὰ ἀτελὴς εἰκών.

## LXXXIX. — Περὶ τῆς γνώσεως τῆς χωριστῆς ψυχῆς.

1. Ὅτι καὶ χωρισθεῖσα τοῦ σώματος ἡ ψυχὴ νοεῖ, κατὰ Πλάτωνα μέν, καὶ βέλτιον πολλῷ ἢ ἐνταῦθα, ἀπαλλαγεῖσα τοῦ κωλύματος καὶ εἰς τὴν ἑαυτῆς ἐλθοῦσα φύσιν· κατὰ δὲ ἀλήθειαν, ἄλλως διαιροῦντος τοῦ λόγου. Ἡ γὰρ ψυχὴ ἕτερον τοῦ εἶναι τρόπον ἔχει ἐν τῷ σώματι, καὶ ἕτερον κεχωρισμένη, τῆς φύσεως τῆς αὐτῆς μενούσης αὐτῇ ἐν ἀμφοῖν τοῖς καιροῖς· οὐ γὰρ κατὰ συμβεβηκός, τῷ δὲ λόγῳ τῆς ἰδίας φύσεως ἑνοῦται

27 Ioh. 1, 9

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006